www.tezaurliturgic.ro

Δεκεμβρίου ιη'.
Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Σεβαστιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια·

*Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων*

Τοῦ Κωνσταντίνου ἡ Πόλις, τέρπου καὶ χόρευε, ἐπὶ τῇ θείᾳ μνήμῃ τοῦ γενναίου ὁπλίτου, τοῦ πᾶσαν δυναστείαν τοῦ δυσμενοῦς, ἀνδρικῶς ἀφανίσαντος· τούτῳ βοῶντες ἐν πίστει, ὑπὲρ ἡμῶν τὸν Χριστόν, Μάρτυς, ἱκέτευε.

Τὸν ἀριστέα τὸν θεῖον καὶ μιμητὴν τοῦ Χριστοῦ, Σεβαστιανὸν τὸν πάνυ, τὴν πηγὴν τῶν θαυμάτων, τὸν ἁγιάζοντα πάντας ἐν τῷ αὐτοῦ, θαυμαστῷ ἁγιάσματι, ἐν ᾧ πιστοὶ συνελθόντες, τὰς δωρεὰς δαψιλῶς ἀπαρυόμεθα.

Δεῦτε πιστοὶ συνελθόντες, ἀνευφημήσωμεν, Σεβαστιανὸν τὸν μέγαν καὶ λαμπρὸν ἀριστέα, τὸν βέλεσι τρωθέντα καὶ ταῖς πληγαῖς, τὸν ἐχθρὸν κατατρώσαντα, οὗ ταῖς εὐχαῖς καὶ πρεσβείαις τῶν πειρασμῶν καὶ κινδύνων ἐκλυτρούμεθα.



Δεῦρο, μαρτύρων τὸ κλέος, Σεβαστιανὲ ἀθλητά, ἐν τῷ ναῷ ἁγίου μάρτυρος Δημητρίου, τοὺς πίστει συνελθόντας ἐπευλογῶν καὶ παρέχων τὰ πρόσφορα, τοὺς ἐν ἀνάγκαις ῥυόμενος συμφορῶν, καὶ δεινῶν ταῖς ἱκεσίαις σου.

*Δόξα. Ἦχος β'.*

Τὴν χάριν τῶν θαυμάτων, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εἰληφώς, Σεβαστιανὲ τρισμέγιστε ἀθλητά, ἁγιάζεις ἐν τῷ ἁγιάσματί σου, ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα. Διὸ εὐχαριστηρίους σοι ἀναπέμποντες εὐχάς, αἰτοῦμεν σε, Μάρτυς πανσέβαστε, μὴ παύσῃ δεόμενος τοῦ Κυρίου ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Ἀπόστιχα στιχηρά·*
*Ἦχος β' Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίροις τῶν ἀθλητῶν καὶ τῶν μαρτύρων δόξα, Σεβαστιανὲ τρισμάκαρ. Πρέσβευε τῷ Κυρίῳ ὑπὲρ ἀχρείων δούλων σου.

*Στίχος· Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Πάντες οἱ γηγενεῖς, ὑμνήσωμεν ἐμφρόνως, Σεβαστιανὸν τὸν θεῖον, τὸν μέγαν πολυνίκην, μάρτυρα γενναιότατον.

*Στίχος· Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

Ὕδωρ τὸ ἐκ πηγῆς, τῆς σῆς, μάρτυς τρισμάκαρ, τὰς νόσους ἀπαλλάττει, ἀπὸ τῶν προστρεχόντων καὶ πίστει δεομένων σου.

www.tezaurliturgic.ro

*Δόξα. Ἦχος πλ.δ'.*

Ταῖς τῶν αἱμάτων σου ῥοαῖς, μάρτυς Σεβαστιανέ, τὴν γῆν ἡγίασας. Καὶ τῇ ἐκ τοῦ ἁγιάσματός σου χάριτι τὴν Πόλιν ταύτην ἀεὶ δαψιλῶς ποτίζεις. Πάντες οὖν οἱ ἀρυόμενοι ἐξ αὐτοῦ, ψυχῆς καὶ σώματος τὴν ῥῶσιν λαμβάνουσι. Πρέσβευε οὖν σὺν τοῖς συνάθλοις σου τῷ Κυρίῳ ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων σου τὸ μνημόσυνον.

*Καὶ νῦν.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Ἀπολυτίκια·*
Τὰ ἐν τῷ μεγάλῳ Ἑσπερινῷ.

*Ἀπόλυσις.*



# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ.
Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ'.
καὶ ψάλλομεν στιχηρὰ Προσόμοια, τὰ ἑξῆς·

*Ἦχος α'. Πανεύφημοι Μάρτυρες ὑμᾶς.*

Αἱμάτων τιμίων σου βαφαῖς, Μάρτυς κατεσκεύασας, σαυτῷ πορφύραν πολύτιμον· ἣν στολισάμενος, κατοικεῖς τὰ ἄνω, ἀληθῶς βασίλεια, Θεῷ παμβασιλεῖ παριστάμενος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Σεβαστιανός τε καὶ Ζωή, Μᾶρκος Μαρκελλῖνός τε, σὺν Τιβουρτίῳ συνήθλησαν, καθυπομείναντες, τρικυμίας πόνων· καὶ νῦν κατεσκήνωσαν, πρὸς ἄπονον καὶ θείαν κατάπαυσιν· ἐν ᾗ πρεσβεύουσι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀήττητοι Μάρτυρες τῇ γῇ, τὰ τῆς γῆς ἐάσαντες, πρὸς οὐρανοὺς ἀνεδράμετε, ὑμῶν τοῖς στίγμασι, καθωραϊσμένοι, καὶ σεπτοῖς παθήμασι, λαμπρῶς πεποικιλμένοι μακάριοι· διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro

*Ἕτερα, Γερασίμου.*
*Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τὴν τοῦ βίου σου εὔκλειαν, λαμπροτέραν ἐτέλεσας, μαρτυρίου σκάμμασιν ἀξιάγαστε· τοῦ γὰρ Σωτῆρος τὸ ὄνομα, λαμπρῶς ὡμολόγησας, παριδὼν τῶν γεηρῶν, θεολήπτῳ φρονήματι τὸ χαμαίζηλον, καὶ νομίμως ἀθλήσας ἐδοξάσθης, Σεβαστιανὲ τρισμάκαρ, ἐπουρανίοις χαρίσμασι.

Τῇ σοφίᾳ τῶν λόγων σου, καὶ ἀγάπῃ τῇ κρείττονι, καὶ οἰκείῳ ἔνδοξε ὑποδείγματι, ὑπὲρ Χριστοῦ παρεθάῤῥυνας, ἀθλήσας στεῤῥότατα, Μάρτυς Σεβαστιανέ, Ἀθλητῶν θεῖον ὅμιλον, οὓς προέπεμψας, τῷ Σωτῆρι λαμπρῶς ἠγωνισμένους, καὶ τελέσας τὸν ἀγῶνα, τῆς ἄνω δόξης μετέσχηκας.

Τῶν βελῶν τοῖς τοξεύμασι, τὸν ἐχθρὸν κατετόξευσας, καὶ καιρίως ἔτρωσας τῇ ἐνστάσει σου, καὶ ῥαβδισμῶν τῇ δεινότητι, σφοδρῶς ἀπεῤῥάπισας, δυσσεβείας τὴν ὀφρύν, λαμπρυνθεὶς θείῳ Πνεύματι, ὡς περίδοξος καὶ ἀήττητος Μάρτυς τοῦ Σωτῆρος, Σεβαστιανὲ θεόφρον, τῶν Ἀθλητῶν ἐγκαλλώπισμα.

*Δόξα. Ἦχος πλ. β'.*

Ἀθλητικῆς χορείας κορυφαῖος, ἀληθῶς ἀνεδείχθης, ὡς ἐν ἄστροις ἥλιος, Σεβαστιανὲ πανθαύμαστε· βίῳ γὰρ καὶ λόγῳ κοσμούμενος, τὸ ὑπὲρ Χριστοῦ θανεῖν, προθύμως προείλου ὡς ἐν πᾶσιν ἀγχίνους· ἐν ᾧ σοφῶς ἐπαίδευσας, τῶν συνόντων σοι τὸ φρόνημα, ὑπερφρονεῖν τῆς σαρκός, διὰ τὴν πάντων ζωήν· καὶ μαρτυρικὸν ἀνύσας ἀγῶνα, ἐπαξίως τετύχηκας τῶν βραβείων τῆς ἄνω δόξης. Ἀλλ' ὦ Μαρτύρων ἀγλάϊσμα, σὺν τοῖς συνάθλοις σου πρέσβευε ὑπὲρ τῶν πίστει τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.



*Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.*

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς· ποιμένες ἀγραυλοῦντες μαρτυρεῖτε θαῦμα τὸ φρικτόν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ βασιλεῖ προσάξατε, ὅτι ὤφθη Κύριος ἐκ Παρθένου μητρός· ὅνπερ καὶ κύψασα δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι ἢ πῶς μοι ἐνεφύης ὁ λυτρωτής μου καὶ Θεός.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

*Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ'

www.tezaurliturgic.ro

ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



*ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ ΙΔΙΟΜΕΛΑ.*

*Ἦχος α'.*

Τῆς ἀληθείας τῷ λόγῳ, ἰθύνων τὸν βίον, μαρτυρικῶς ἠνδραγάθησας, Σεβαστιανὲ μακάριε· οὐ γὰρ δόξης μέγεθος, οὔτε συγκλήτου ἀξίωμα, καὶ ἀπειλαὶ καὶ θλίψεις, τῆς τοῦ Χριστοῦ ἀγάπης, οὐδόλως χωρίσαι σε ἴσχυσαν· ἀλλὰ πάντων περιγενόμενος ὡς εὐσεβείας διδάσκαλος, τύπος καὶ παράδειγμα, πρὸς ἀθλητικοὺς ἀγῶνας ὤφθης. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β'.*

Τοῦ μαρτυρίου ὑπελθὼν τὸν ἀγῶνα, στρατηγὸς ὤφθης ἀήττητος, καὶ ὁδηγὸς θεόσοφος, μαρτυρικοῦ συνασπισμοῦ, Σεβαστιανὲ ἀεισέβαστε· διὸ τοῖς συναθλοῦσι σοι ἐβόας, θεολήπτῳ φωνῇ· Στῶμεν ἀνδρείως, ὦ ἀδελφοί, πρὸς τὸν προκείμενον ἀγῶνα· ὅτι Χριστὸς ὁ Κύριος, ἡμᾶς ἀπεκδέχεται, ἐν τῇ ἀϊδίῳ ζωῇ· μεθ' ὧν ποικίλοις ἄθλοις, τὸν ἐχθρὸν θριαμβεύσας, σὺν αὐτοῖς ἠξίωσαι, τῶν μακαρίων ἐλπίδων τὸ πέρας, ἀπολαβεῖν ἐν χαρᾷ· μεθ' ὧν καὶ νῦν ἱκέτευε, ὑπὲρ ἡμῶν πανεύφημε.

*Ἦχος γ'.*

Τὴν πανοπλίαν τῆς πίστεως, ἐνδεδυμένος μυστικῶς ὡς βέλη νηπίων λελόγισαι, τὰς τῶν βελέμνων τρώσεις, Σεβαστιανὲ ἔνδοξε· ὡς γὰρ ἄλλου πάσχοντος, ἐκαρτέρεις τοξευόμενος, ἀπεριτρέπτῳ καρδίᾳ, καὶ ἀνδρείῳ φρονήματι· τῇ γὰρ θείᾳ ἑνώσει, ἔξω κόσμου καὶ σαρκὸς ἐγένου μακάριε· καὶ ἰδίῳ αἵματι δοξάσας Χριστόν, κατ' ἀξίαν ἐδέξω, τὰς ἐπικαρπίας τῶν πόνων σου· διὸ τὴν ἁγίαν σου μνήμην, ἑορτάζομεν.

www.tezaurliturgic.ro

*Ἦχος δ'.*

Τῆς εὐσεβείας τὸ φῶς, ὡς λύχνον τοῖς ποσὶν ἔχων κατὰ Δαβίδ, ἀπροσκόπτως διέβης, τοῦ μαρτυρίου τὴν τρίβον, πρὸς τὸν σκοπὸν ἀφορῶν, τῆς ἄνω κλήσεως· καὶ ἁγίων Μαρτύρων, ἀλείπτης καὶ ὁδηγὸς γενόμενος, σὺν αὐτοῖς τῷ ξύλῳ τῆς ζωῆς ἀποκατέστης, Σεβαστιανὲ θεόσοφε· διό σὺν αὐτοῖς τιμῶντές σε βοῶμεν· Τῷ ἀθλοθέτῃ Σωτῆρι ὁμοῦ πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Ἀθλητικῇ εὐψυχίᾳ, καὶ ὑποθήκαις τῆς χάριτος, πρὸς τὴν τελειοτάτην Χριστοῦ ἀγάπην, τῶν συμμαρτύρων τὰς ψυχὰς ἐπτέρωσας, Σεβαστιανὲ μακάριε· ἐκ γὰρ τοῦ πλούτου τῆς καρδίας σου, ἀγαθὰς χορηγίας, τοῖς ποθοῦσι μετέδωκας· καὶ ῥοπάλοις καὶ τοξεύμασι, καρτερῶς διαθλήσας, μεγαλοπρεπῶς ἐδέξω, τὸ τῆς νίκης διάδημα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ.*
*Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.*

Ὁ εὐσεβείας τῷ φέγγει διαλάμψας, ὅτε πρὸς τὸ στάδιον, τὸ τῆς ἀθλήσεως, περιφανῶς προσεχώρησας, γνώμῃ ἀνδρείᾳ, ὡς πεπλησμένος θείας φρονήσεως, τότε περιφάνειαν πᾶσαν ἐπίγειον, καὶ πᾶν γεῶδες ἀξίωμα, ἀπεβδελύξω καὶ τοῦ Σωτῆρος τὸ μέγα ὄνομα, ὁμολογήσας κατεπάλαισας, τοῦ ἐχθροῦ τὴν μανίαν τοῖς πόνοις σου, ὡς ὁπλίτης γενναῖος, Σεβαστιανέ τοῦ κτίσαντος.



*Στίχος· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Ὁ τῶν Ἁγίων Μαρτύρων τὴν χορείαν, ἀθροίσας ἐν Πνεύματι, λόγῳ τῆς πίστεως, καὶ εὐσεβείας διδάγμασι, καὶ θείοις ἔργοις, καὶ πολιτείας σεμνῆς τῇ χάριτι, τούτων ἐνθεώτατος ὤφθης διδάσκαλος, καὶ ὁδηγὸς πρὸς τὴν ἄθλησιν, δι' ἧς καθεῖλον, τοῦ ἀρχεκάκου τὰ μηχανήματα, μεθ' ὧν τῆς ἄνω ὑπὲρ ἔννοιαν, ἀπολαύων τρυφῆς καθικέτευε, Σεβαστιανὲ παμμάκαρ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Στίχος· Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Ὁ τῇ ἀγάπῃ τῇ θείᾳ τετρωμένος, ὅτε ὥσπερ ἄσαρκος ἐδέχου Ἅγιε, ἐν τῷ ἁγίῳ σου σώματι, κρίσει ἀδίκῳ, τὰ τῶν βελέμνων πικρὰ τοξεύματα, τότε τῆς ἀνδρείας σου καὶ καρτερότητος, κατετραυμάτισας βέλεσιν, ἐχθρῶν καρδίας, ὡς στρατιώτης Χριστοῦ ἀήττητος, καὶ νικηφόρος ἀνελήλυθας, ἔνθα νέφος Μαρτύρων, ἀγάλλεται, Σεβαστιανὲ θεόφρον, πρεσβευτὰ τῶν εὐφημούντων σε.

*Δόξα. Ἦχος πλ. δ'.*

Ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ, κραταιούμενος Ἅγιε, παρεμβολὰς ἀλλοτρίων, κατὰ Παῦλον τὸν θεῖον, τῇ ἀθλήσει σου ἔκλινας· καὶ μαρτυρικῆς παρεμβολῆς, ταξίαρχος ὀφθείς, θεοπρεπῶς διήνυσας, τὸ τῆς ἀθλήσεως στάδιον. Καὶ νῦν Σεβαστιανὲ πολύαθλε, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.*

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς, μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε, ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε· πᾶσα πνοὴ αἰνεσάτω τὸν Παντουργέτην.

www.tezaurliturgic.ro

*Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.*
*Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Τὴν δόξαν τὴν πρόσκαιρον, καταλιπὼν νουνεχῶς, ἀθλήσει ἐδόξασας, τὸν ἀθλοθέτην Χριστόν, Σεβαστιανὲ ἔνδοξε· Ὅθεν τῆς οὐρανίου, εὐφροσύνης μετέχων, πρέσβευε Ἀθλοφόρε, πάσης ῥύεσθαι βλάβης, τοὺς πόθῳ προσιόντας, τῇ θείᾳ πρεσβείᾳ σου.

*Δόξα· ἕτερον.*
*Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Συγκλήτου σφαλλομένης παριδὼν τὰ συνέδρια, Σεβαστιανὲ πανολβίαν συναγείρεις συνέλευσιν, Μαρτύρων ἀληθῶς πανευκλεῶν, σὺν σοὶ καταβαλόντων τὸν ἐχθρόν, μεθ' ὧν θείας συναυλίας ἀξιωθείς, φαιδρύνεις τοὺς βοῶντάς σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

*Καὶ Ἀπόλυσις.*



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.

*Ἦχος α'. Τον τάφον σου Σωτήρ.*

Ὡς ἥλιος λαμπρός, ἀνατέλεις τῷ κόσμῳ, ὦ Σεβαστιανέ, Ἀθλητὰ γενναιόφρον, ὡς ἄστρα συνανίσχοντα, τοὺς κλεινοὺς ἔχων Μάρτυρας, οὓς ἐπήλειψας, πρὸς μαρτυρίου ἀγῶνας, μεθ' ὧν πρέσβευε, τῷ φιλανθρώπῳ Δεσπότῃ, ὑπὲρ τῶν τιμώντων σε.

*Δόξα καὶ νῦν. Προεόρτιον, ὅμοιον.*

Ὃν πάλαι Προφητῶν, προεκήρυξε στῖφος, προέρχεται τεκεῖν, Βηθλεὲμ ἐν σπηλαίῳ, ἡ μόνη Ἀειπάρθενος, τὸν ὑπέρθεον Κύριον, σάρκα ἔμψυχον, ἐκ ταύτης ἤδη λαβόντα· οὗ τὴν γέννησιν, προεορτάσωμεν πάντες, ψυχῆς καθαρότητι.

*Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα.*
*Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Σοφίᾳ κοσμούμενος, καὶ πολιτείᾳ σεμνῇ, νομίμως ἐνήθλησας, ὑπὲρ τῆς δόξης Χριστοῦ, Σεβαστιανὲ ἔνδοξε· βέλεσι γὰρ ἐτρώθης, καὶ τυφθεὶς τοῖς ῥοπάλοις, ἤνυσας ἀνενδότως, τὸ μακάριον σκάμμα· διὸ παρὰ Κυρίου ἀξίως δεδόξασαι.

*Δόξα καὶ νῦν. Προεόρτιον, ὅμοιον.*

Τεχθῆναι προέρχεται, σωματικῶς δι' ἡμᾶς, ἐκ Κόρης θεόπαιδος, ὁ τῶν ἁπάντων Θεός, δι' ἄφατον ἔλεος· ὅθεν προεορτίους, τούτῳ ᾄσωμεν αἴνους, δόξα σοι

www.tezaurliturgic.ro

ἐκβοῶντες, τῷ Σωτῆρι τῶν ὅλων, τῷ ἥκοντι ἐν κόσμῳ, σῶσαι τὸν ἄνθρωπον.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα.*
*Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.*

Τετρωμένος ἀγάπῃ τῇ θείᾳ ἔνδοξε, ἀπηνῶς κατετρώθης ὅλῳ τῷ σώματι, ἐκκεντήσεσι βελῶν ὡς ἄλλου πάσχοντος, καὶ ῥαβδισμῶν καρτερικῶς, ὑπομείνας τὴν φοράν, μετέστης πρὸς δόξαν θείαν, Σεβαστιανὲ τρισμάκαρ, ὡς Ἀθλοφόρος ἐνθεώτατος.

*Δόξα καὶ νῦν. Προεόρτιον ὅμοιον.*

Σαρκωθεὶς ἐξ ἀχράντων Ἁγνὴ αἱμάτων σου, ἐν σπηλαίῳ τεχθῆναι ἤδη προέρχεται, ἐκ νηδύος σου ἁγνῆς ὁ Ὑπερούσιος, ἀναπλάττων τὸν Ἀδάμ, τὸν πεσόντα χαλεπῶς· διὸ σὲ πιστῶς ὑμνοῦμεν, Θεογεννήτρια Κόρη, ὡς σωτηρίας ἡμῶν πρόξενον.

*Τὸ α'. ἀντίφωνον τοῦ δ'. ἤχου καὶ τὸ Προκείμενον·*

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

*Στίχος· Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον τοῦ Ὄρθρου τοῦ Ἁγίου Γεωργίου.

*Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...*

*Ἰδιόμελον. Ἦχος πλ. β'.*
*Στίχος· Ἐλέησόν με ὁ Θεός....*

Τῶν ἀρετῶν τὴν εὔκλειαν, τῇ δι' αἵματος ἀθλήσει ἐσφράγισας, Σεβαστιανὲ θεόσοφε· σοφῶς γὰρ διεξάγων τὰ σά, προσφόρως ἐκφαίνεις τὴν χάριν, τῇ καλῇ ὁμολογίᾳ σου· διὸ λαμπρῶς δοξασθείς, ἀδιαλείπτως ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου...



*Εἶτα οἱ κανόνες,*

τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ' καὶ τοῦ Ἁγίου οἱ δύο, εἰς η'.

*Κανὼν τῆς Θεοτόκου.*
*Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ εἱρμός.*

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μο»χθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· Τῷ λυ»τρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιμπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

*Ὁ α' κανὼν τοῦ Μάρτυρος, οὗ ἡ Ἀκροστιχίς·*
*Θεῖον σέβας σοι Μάρτυς ἐμφρόνως νέμω· Ἰωσήφ.*

*Ὠδὴ α'. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Θείαις φαιδρυνόμενος αὐγαῖς, τῆς σεβασμίου Τριάδος ἀοίδιμε, πίστει τοὺς τιμῶντάς σου, τὴν φωταυγῆ καὶ ἱερὰν πανήγυριν, σοῦ ταῖς ἱκεσίαις, φωτὸς μετόχους ἀνάδειξον.

www.tezaurliturgic.ro

Ἔχων λογισμὸν φωτοειδῆ, καὶ δεκτικὸν καθαρῶν ἐπιλάμψεων, μόνον ἐπεπόθησας, τὸ ὄντως Ὂν ὡς νουνεχὴς καὶ φρόνιμος, Μάρτυς ἀθλοφόρε, καὶ τούτου πίστει τετύχηκας.

Ἱδρῶσιν ἐνθέοις ἀληθῶς, τὰ τῆς σαρκὸς ἀμαυρώσας φρονήματα, αἵμασιν ἀθλήσεως, τοὺς θολεροὺς χειμάῤῥους ἀπεξήρανας, τῆς πολυθεΐας, θεόφρον Μάρτυς πολύαθλε.

Ὅμιλον προσῆξας Ἀθλητῶν, διδασκαλίαις σου θείαις τῷ Κτίσαντι, πᾶσαν τὴν διάνοιαν, τῶν διωκτῶν καταβαλὼν τῇ χάριτι, Πνεύματος Ἁγίου, μεθ' ὧν πρεσβεύεις σωθῆναι ἡμᾶς.

*Θεοτοκίον.*

Νέον ἀπεκύησας Υἱόν, τὸν πρὸ αἰώνων Πατρὶ συννοούμενον, φύσεως καινίσασα, νόμους ἁγνὴ Παρθενομῆτορ ἄχραντε, ἐν τῇ ὑπὲρ φύσιν, σεπτῇ καὶ θείᾳ γεννήσει σου.

*Κανὼν β' φέρων ἀκροστιχίδα·*
*Σεβαστιανῷ μάρτυρι πρέπει σέβας.*

*Ἦχος πλ. β'.*
*Ὠδὴ α'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.*

Σὺν ἀσωμάτων χορείαις, ἐν οὐρανοῖς παρεστώς, πανόλβιε, τῷ δεσπότῃ καὶ Θεῷ, τοὺς τὴν θείαν μνήμην σου πιστῶς, ἐκτελοῦντας πειρασμῶν, ῥῦσαι πρεσβείαις σου.

Ἐν οὐρανίοις θαλάμοις περιχαρῶς, σὺν ἀγγέλων τάξεσι μεγαλύνοντες Χριστόν, ἀθληταὶ πανένδοξοι, ὑμᾶς τοὺς τιμῶντας εὐσεβῶς, περιφρουρήσατε.

Βίον σεμνὸν διανύσας καὶ καθαρόν, ἀμοιβὴν ἀπείληφας ταύτην, μάκαρ, ἐκ Θεοῦ, τὸ τελειωθῆναι εὐσεβῶς διὰ αἵματος, σοφέ, ὥσπερ ἐπόθησας.



Ἄγγελοι θεῖοι τοὺς λόγους τοὺς ἐκ τοῦ σοῦ, προϊόντας στόματος, ἀθλοφόρε τοῦ Χριστοῦ, βεβαιοῦντες θαύμασι πολλοῖς, ἐφειλκύσαντο λαούς, πρὸς γνῶσιν ἔνθεον.

*Θεοτοκίον.*

Ἄφλεκτον πάλαι τὴν βάτον κατανοεῖ, Μωϋσῆς, Πανάχραντε, τὴν ἁγίαν σου νηδὺν προτυποῦσαν· φέρεις γὰρ τὸ πῦρ, τῆς θεότητος γαστρί, μένουσα ἄφλεκτος.

*Καταβασία·* ***Χριστὸς γεννᾶται δοξάσατε.***
*Τῆς Θεοτόκου.*
*Ὠδὴ γ'. Ὁ εἱρμός.*

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλη»σίας δομῆτορ, σὺ μὲ στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ »σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήρι»γμα, μόνε φιλάνθρωπε.

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν πανάμωμε τὸν ἀδαπάνητον.

www.tezaurliturgic.ro

*Τοῦ μάρτυρος.*
*Ὠδὴ γ'. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.*

Στρατὸν ἐπαγόμενος σεπτόν, τῆς θείας ὅπλοις πίστεως, ὠχυρωμένον Μάρτυς ἀήττητε, τὰς παρατάξεις τοῦ πολεμήτορος, καὶ τὰ πανουργεύματα, τῶν τυράννων ἅπαντα, καταβάλλεις τῷ σθένει τοῦ Πνεύματος.

Ἐρείσας ἐν πέτρᾳ νοητῇ, τὰς βάσεις τῆς καρδίας σου, εὐσεβοφρόνως Μάρτυς πολύαθλε, οὐ παρετράπης τοῖς μηχανήμασι, τοῦ δολίου δράκοντος, ἀλλὰ πᾶσιν ἔρεισμα, εὐσεβείας ἐν Πνεύματι γέγονας.

Βελῶν ἐκκεντήσεις χαλεπάς, ὑπέφερες δεσμούμενος, καὶ ἐπὶ ξύλου Μάρτυς τεινόμενος· Θεοῦ δὲ θείᾳ δυνάμει ἔνδοξε, ἀσινὴς ὁλόκληρος, αὖθις ἀπεδείκνυσο, καταισχύνων ἐχθροῦ μηχανήματα.

*Θεοτοκίον.*

Ἁγίασμα ὤφθης νοητόν, τοῦ πάντας ἁγιάζοντος, καὶ καθαρὸν Πανάμωμε σκήνωμα· ἐκ σοῦ γὰρ ὤφθη Θεὸς σαρκούμενος, καὶ διπλοῦς ταῖς φύσεσι, κόσμῳ γνωριζόμενος, ἐν μιᾷ ὑποστάσει Θεόνυμφε.

*Ἕτερος τοῦ μάρτυρος.*
*Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.*

Σαρκὸς εὐγένειαν λιπών, καὶ ἐπίκηρον πλοῦτον, καὶ γηΐνην ἀξίαν, καὶ τοῦ κόσμου τὰ τερπνὰ τὸν ὄντως ὄντα Θεόν, ἀθλοφόρε, ἀληθῶς ἐπόθησας.

Τὸν μάτην σπεύδοντα ἐχθρόν, τοὺς Χριστοῦ στρατιώτας, Μαρκελλῖνον καὶ Μᾶρκον, ὑπεκλύειν δολερῶς, πανσόφοις σου διδαχαῖς, καταισχύνεις, μάρτυς πανοίδιμε.



Ἰδεῖν τὴν δόξαν σου, Χριστέ, ἀνενδότως ποθοῦντες Μαρκελλῖνος καὶ Μᾶρκος, πάντων ὁμοῦ τῶν ἐν γῇ, ἠλόγησαν καὶ τὴν σήν, τοὺς τεκόντας, γνῶσιν ἐξεπαίδευσαν.

*Θεοτοκίον.*

Ἁγία Δέσποινα, Θεὸν ἡ κυήσασα δούλου, ἐνδυσάμενον σχῆμα, δεδουλωμένους αἰσχροῖς, καὶ πονηροῖς λογισμοῖς τοὺς σοὺς δούλους, κόρη, ἐλευθέρωσον.

*Καταβασία· **Τῷ πρὸ τῶν αἰώνων.***
*Κάθισμα.*
*Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Τῷ βίῳ τῷ φαιδρῷ, συναστράπτοντα ἔχων, τὸν λόγον ἱερῶς, ἐφελκύσω ἀγέλας, πιστῶν πρὸς εὐσέβειαν· μεθ' ὧν χαίρων ἐνήθλησας, πᾶσαν κάκωσιν, ὑπενεγκὼν τῶν τυράννων· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς βάθος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

*Τῆς Θεοτόκου.*
*Ὠδὴ δ'. Ὁ εἱρμός.*

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστήριον· »κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θε»ότητα.

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

www.tezaurliturgic.ro

Ἀπολαύοντες πάναγνε, τῶν σῶν δωρημάτων, εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

*Τοῦ μάρτυρος.*
*Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.*

Σθένος σοι Τιβούρτιε, δωρεῖται ὁ Κύριος, δι' ἀσθενείας τῆς σαρκός, καταπαλαῖσαι τὸν ἐχθρόν· πυρὶ γὰρ φλογίζοντι, νεανικῶς ἐπέβης Μάρτυς στεῤῥότατα, καὶ τὴν οὐράνιον δρόσον ἀντέλαβες.

Συνήφθης τοῖς ἄνω, λειτουργοῖς ὦ Τιβούρτιε, ὡς λειτουργήσας τῷ Χριστῷ, καὶ ἀνενέγκας καθαράς, θυσίας ἐν Πνεύματι, ἱερουργέ, Μαρτύρων κλέος καὶ καύχημα, χαρμονικῶς διὰ τοῦτο τιμῶμέν σε.

Ὄρθιος κρεμάμενος, καὶ πλήκτροις ξεόμενος, καὶ ταῖς σφοδραῖς τῶν αἰκισμῶν, περικυκλούμενος φοραῖς, καὶ βόθρῳ χωννύμενος, καὶ ἐν αὐτῷ, τὸ θεῖον τέλος δεχόμενος, ὁ γενναιόφρων ἠγάλλετο Κάστουλος.

Ἰάσεις ἐν Πνεύματι, Ἁγίῳ μακάριε, ἐπιτελῶν πρὸς φωτισμόν, τῶν καθορώντων εὐσεβῶς, λαοῖς τὸ σωτήριον, θεοπρεπῶς Σεβαστιανὲ κατήγγειλας, μαρτυρικῶς δὲ τόν δρόμον ἐτέλεσας.

*Θεοτοκίον.*

Μόνην σε πασῶν, ἐκ γενεῶν ἐξελέξατο, ὁ ὑπερούσιος Θεός, καὶ οὐσιώθη καθ' ἡμᾶς, γενόμενος ἄνθρωπος, ὁ πλαστουργός, τῆς ἀνθρωπίνης ὑπάρξεως, Θεογεννῆτορ πανάμωμε Δέσποινα.



*Ἕτερος τοῦ μάρτυρος.*
*Ὠδὴ δ'. Χριστός μου δύναμις.*

Ἁγίου πνεύματος, σὲ περιήστραψε, λαμπηδὼν βεβαιοῦσα, τοὺς σοὺς σαφῶς λόγους, παναοίδιμε· ὅπερ ὁρῶσα τῆς ζωῆς, ἡ ἐπώνυμος φωτίζεται.

Νεκροῖς Νικόστρατος, θεοῖς προσκείμενος, ἰαθεῖσαν ὡς εἶδε, τὴν γαμετήν, ἑαυτοῦ ἐντεύξει σου, μάρτυς, ἐπίστευσε Χριστῷ, τῷ νεκροῖς ζωὴν παρέχοντι.

Ὢ ξένου θαύματος! ὁ πρὶν τὴν χάριν σου, βλασφημῶν Τραγκυλῖνος νῦν, ὑπ' αὐτῆς φωτισθείς, κηρύττει σου, τοῖς ἀγνοοῦσι θαυμαστῶς, παντοδύναμε, τὸ ὄνομα.

Μαρτύρων ὅμιλον Θεῷ προσήγαγες, Σεβαστιανὲ μάρτυς· μεθ' ὧν Χριστόν, ἐκτενῶς δυσώπησον, τοῦ εἰρηνεῦσαι τοὺς πιστῶς, ἑορτάζοντας τὴν μνήμην σου.

*Θεοτοκίον.*

Δεσπότην τέξασα, Χριστὸν τὸν Κύριον, ἐνδυσάμενον δούλου σχῆμα, Ἁγνή, δοῦλόν με γενόμενον παθῶν ἀτίμων σαῖς εὐχαῖς, ἐλευθέρωσον, πανάχραντε.

*Καταβασία.* ***Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.***
*Τῆς Θεοτόκου.*
*Ὠδὴ ε'. Ὁ εἱρμός.*

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ »βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παρά»σχου ἡμῖν φιλάνθρωπε.

Ἔμπλησον Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

www.tezaurliturgic.ro

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

*Τοῦ μάρτυρος.*
*Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Αἱ τρίβοι σου καὶ πορεῖαι πρὸς μόνον φερόμεναι, τὸν Κύριον ἀνοδίας ἐχθρῶν ὑπεξέκλιναν, καὶ πολλοῖς γεγόνασιν, ὁδὸς εὐθεῖα καὶ πραεῖα, Μάρτυς Χριστοῦ πανσεβάσμιε.

Ῥητορεύει Μαρκελλῖνος καὶ Μᾶρκος σοφώτατα, πρὸ βημάτων τοῦ Χριστοῦ τὴν σωτήριον ἔλευσιν· προσδεθέντες ἄμφω δέ, κέντροις τοὺς πόδας καθηλοῦνται, μαρτυρικῶς κλεϊζόμενοι.

Τὸ πάθημα τοῦ τὰ πάθη ἡμῶν θανατώσαντος, Μαρκελλῖνος καὶ ὁ Μᾶρκος στεῤῥῶς εἰκονίζοντες, λόγχῃ σφαγιάζονται, καὶ στεφηφόροι ταῖς χορείαις, τῶν Ἀθλοφόρων συνάπτονται.

*Θεοτοκίον.*

Ὑπέρφωτε τοῦ Ἡλίου Νεφέλη πανάμωμε, ἀπέλασον τῆς ψυχῆς μου τὰ νέφη πρεσβείαις σου, καὶ τὸν νοῦν μου φώτισον, τῇ ἀμελείᾳ σκοτισθέντα, ὅπως ὑμνῶ σε Πανύμνητε.



*Ἕτερος τοῦ μάρτυρος.*
*Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου, ἀγαθέ.*

Ἄνακτα πάντων καὶ ποιητήν, καὶ δημιουργὸν καὶ λυτρωτήν, ἐπεγνωκὼς σε Χρωμάτιος, πάντων τῶν ἐν κόσμῳ τερπνῶν ἠλόγησε, καὶ σοὶ σὺν Τιβουρτίῳ, Χριστέ, ἐπίστευσεν.

Ῥήμασι θείοις καὶ διδαχαῖς, Σεβαστιανὸς ὁ ἱερός, καὶ ὁ θεόφρων Πολύκαρπος, ὅμιλόν σοι θεῖον προσῆξε, Δέσποτα, μαρτύρων ἀνυμνούντων τὸ θεῖον κράτος σου.

*Θεοτοκίον.*

Τῷ θείῳ φέγγει τοῦ ἐκ τῆς σῆς, Δέσποινα, ἐκλάμψαντος γαστρός, τὴν σκοτισθεῖσαν καρδίαν μου φώτισον καὶ θεῖον ναὸν ἀνάδειξον, ὑπάρχουσαν κακίστων δαιμόνων σπήλαιον.

*Καταβασία.* ***Θεὸς ὢν εἰρήνης.***
*Τῆς Θεοτόκου.*
*Ὠδὴ στ'. Ὁ εἱρμός.*

Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ »μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ »ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰω»νᾶς· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Θανάτου, καὶ τῆς φθορᾶς ὃς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε, τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν,

www.tezaurliturgic.ro

καὶ δέομαι διὰ παντός· ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὡς τεῖχος, καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν, ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

*Τοῦ μάρτυρος.*
*Ὠδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.*

Στεῤῥότητι νοὸς σεβασμιώτατε, ἐδείχθης ἀταπείνωτος, ἐν τῷ τύπτεσθαι ταῖς ῥάβδοις ἀφειδῶς, καὶ κατακεντᾶσθαι πολλοῖς τοῖς βέλεσιν· ὅθεν πρὸς φῶς, μετέβης χαίρων Μάρτυς ἀνέσπερον.

Ἐνεύρου σε Χριστὸς ἀγωνιζόμενον, καὶ δαίμοσι μαχόμενον, καὶ αἰκίαις ὁμιλοῦντα χαλεπαῖς, Σεβαστιανὲ Μάρτυς ἀήττητε, καὶ πρὸς αὐτόν, ἀποσκοποῦντα καρδίας ὄμμασι.

Μοχλεύσεσι στεῤῥαῖς πανσόφων λόγων σου, τὴν πλάνην ἀνεμόχλευσας, καὶ σεβάσματα κατέαξας ἐχθρῶν, καὶ εἰδωλικοὺς ναοὺς ἠδάφισας, καὶ σεαυτόν, ναὸν τοῦ θείου ἤγειρας Πνεύματος.

*Θεοτοκίον.*

Φθαρεῖσαν τὴν ἡμῶν ἐκ παραβάσεως, οὐσίαν ἀνεκαίνισας, τὸν καινίζοντα τὰ πάντα θεϊκῷ, μόνῳ τῷ βουλήματι κυήσασα, ἐν γυναιξίν, εὐλογημένη Θεοχαρίτωτε.



*Ἕτερος τοῦ μάρτυρος.*
*Ὠδὴ στ'. Τοῦ βίου τὴν θάλασσαν.*

Υἱόν σε συνάναρχον, τοῦ Πατρός, Λόγε Θεοῦ, ἐπεγνωκὼς Χρωμάτιος, σοὶ τὸν υἱὸν προσάγει δῶρον τερπνόν, Τιβούρτιον μέσον σε βασιλέα ἀνόμων, καταγγέλλοντα.

Ῥεόντων τὸ ἄστατον, ἀρνησάμενοι καλῶς, Νικόστρατος καὶ Κλαύδιος, σὺν Καστορίῳ ἤλεγξαν ἀνδρικῶς εἰδώλων τὸ ἄθεον, καὶ βυθοῖς θαλαττίοις, παρεδόθησαν.

*Θεοτοκίον.*

Τοῦ βίου θαλάσσῃ με, καὶ παθῶν ἐπαγωγαῖς, Παρθένε, χειμαζόμενον, ὡς κυβερνήτην τέξασα τοῦ παντός, κυβέρνησον, σῶσόν με καὶ γαλήνης ἐνθέου, κόρη, πλήρωσον.

*Καταβασία.* ***Σπλάγχνων Ἰωνᾶν.***

*Κοντάκιον.*
*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῆς εὐσεβείας διαπρέπων τῷ ζήλῳ, μαρτυρικὸν συνασπισμὸν συναγείρεις, ὧν ἐν τῷ μέσῳ ἤστραψας ὡς ἄστρον φαεινόν· ὅθεν καὶ τοῖς βέλεσιν, οἷς ἐτρώθης τὸ σῶμα, τοῦ ἐχθροῦ κατέτρωσας, τὴν καρδίαν καιρίως, Μεγαλομάρτυς Σεβαστιανέ· ὅθεν Χριστός σε, ἐνθέως ἐδόξασε.

*Ὁ Οἶκος.*

Τοῦ μαρτυρίου τὴν ὁδόν, ἐβάδισας ἐμφρόνως, ἀπαρνησάμενος σαυτόν, τελειοτάτῳ λογισμῷ, καὶ τῷ Σωτῆρι πιστῶς ἠκολούθησας, σύμμορφος τῆς εἰκόνος αὐτοῦ γενόμενος· Σὺ γὰρ ἀρεταῖς διαπρέπων καὶ σοφίᾳ λαμπόμενος, πλοῦτον φθαρτόν, καὶ συγκλήτου περιφανὲς ἀξίωμα, ὡς σκύβαλα κατὰ Παῦλον ἡγήσω, ἵνα Χριστὸν κερ-

www.tezaurliturgic.ro

δίσης· καὶ πρὸς μαρτυρικοὺς ἀποδυσάμενος ἀγῶνας, μαρτύρων ἁγίων ἀλείπτης καὶ ὁδηγὸς ἐνθεώτατος ἐχρημάτισας, αὐτῶν τὸν νοῦν πτερώσας, ὑπερφρονεῖν τῶν ἀλγεινῶν· καὶ βέλεσι τοξευθεὶς τὸ σῶμα, καὶ ῥοπάλοις συντριβείς, καλῶς τὸν ἀγῶνα ἐτέλεσας, Μεγαλομάρτυς Σεβαστιανέ· ὅθεν Χριστός σε ἐνθέως ἐδόξασε.

*Συναξάριον.*

Τῇ ΙΗ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ, Ζωῆς, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου, καὶ Μάρκου.

*Στίχοι· Σεβαστιανὸς τῶν πλάνης σεβασμάτων,*
*Καταφρονήσας, τύπτεται τὸ σαρκίον.*
*Ὀγδοάτῃ δεκάτῃ Σεβαστιανὸς ῥοπαλίσθη.*

*Ζωὴ πρὸς ὕψος ἐκ κεφαλῆς ἠρμένη,*
*Καπνῷ δυσώδει λαμβάνει ζωῆς τέλος.*

*Ναί, βάλλετε σφοδρῶς με συχνοῖς τοῖς λίθοις,*
*Ἐκ καρδίας ἔκραζεν ὁ Τραγκυλῖνος.*

*Καὶ τοὺς περὶ Κλαύδιον ὧδε τακτέον,*
*Οὓς, κἂν βυθὸς συνέσχεν, οὐρανὸς φέρει*

*Τιβουρτίου τέμνουσι τὴν θείαν κάραν,*
*Σύ μου Θεὸς κράζοντος, ὦ Θεοῦ Λόγε.*

*Κάστουλον εἷλκον εἰς ἀπωλείας βόθρον·*
*Ὡς δ' οὐχ ὑπεῖξε, γῆς ἐνεβλήθη βόθρῳ.*

*Ἐχθρῶν παγέντες, οἷα λόγχαι, καρδίαις,*
*Νύττεσθε λόγχαις, Μᾶρκε καὶ Μαρκελλῖνε.*

Τούτων ὁ μὲν Σεβαστιανός, εἷς τῆς συγκλήτου βουλῆς ὑπῆρχεν, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ πόλεως Μεδιολάνων ὁρμώμενος, πολλοὺς πρός τὴν εὐσεβῆ πίστιν ἐνάγων. Μαρκελλῖνος δὲ καὶ Μᾶρκος οἱ αὐτάδελφοι, χρονίαν ὑπομείναντες κάθειρξιν, καὶ πολλαῖς βασάνων ἰδέαις ὑποβληθέντες ἐκελεύθησαν ἀποτμηθῆναι. Ὁ δὲ πατὴρ αὐτῶν Τραγκυλῖνος, Ἕλλην ὤν, καὶ Μαρκία ἡ μήτηρ, παρὰ μικρὸν τοῖς ὀδυρμοῖς ἐκώλυον αὐτοὺς τοῦ διὰ Χριστὸν παθεῖν. Τάχα δὲ ἂν τοῦτο ἐγεγόνει, εἰμὴ Σεβαστιανὸς ὁ ἀοίδιμος παῤῥησιασάμενος, οὐ μόνον αὐτοὺς ἐστερέωσεν, ἀλλὰ καὶ Τραγκυλῖνον πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν· καὶ αὖ Τραγκυλῖνος τὸν Ἔπαρχον ἐκατήχησε πιστεύσαντα. Αὐτίκα οὖν ὁ Ἔπαρχος, προσκαλεσάμενος τὸν ἐνδοξότατον καὶ μακάριον Σεβαστιανόν, καὶ Πολύκαρπον τὸν πρεσβύτερον, ἠξίου σωτηρίας τυχεῖν, καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι· ἧς καὶ ἀπηλλάγη, πιστεύσας τῷ Χριστῷ ὁλοψύχως, καὶ τὰ ἐν τῷ οἴκῳ εἴδωλα συντρίψας καὶ βαπτισθείς. Ὁ δὲ μακάριος Γάϊος ὁ Ἐπίσκοπος, τὸν μὲν Μαρκελλῖνον καὶ Μᾶρκον, τοὺς αὐταδέλφους, τῷ τῶν Διακόνων ἐγκαταλέγει τάγματι· τὸν δὲ τούτων πατέρα, τῷ τῶν Πρεσβυτέρων· τὸν δὲ μακάριον Σεβαστιανόν, Ἔκδικον τῆς Ἐκκλησίας καθίστησι. Κινηθέντος δὲ τοῦ διωγμοῦ, σὺν τούτοις Νικόστρατος, Κλαύδιος, Κάστωρ, Τιβούρτιος, Κάστουλος, καὶ Ζωή, ἐπεὶ κατεσχέθησαν, διαφόρως ἐξετασθέντες, τὸ πέρας τοῦ βίου δέχονται. Ὁ δὲ ἅγιος Σεβαστιανός, μετακληθεὶς παρὰ τοῦ Διοκλητιανοῦ, καὶ ἐρωτηθείς, βέλεσι πυκνοῖς, οἷα εἰκός, κατατιτρώσκεται, καὶ ῥοπάλοις τὸ σῶμα καταθραύεται, καὶ εἰς μέρη κατατμηθείς, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.



Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὐβιότου.

*Στίχοι· Ἤθλησεν Εὐβίοτος ἄχρις αἱμάτων,*
*Βίου δὲ τέρμα εὗρε χωρὶς αἱμάτων.*

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φλώρου, Ἐπισκόπου Ἀμινσοῦ.

*Στίχοι· Εἴκων ὁ Φλῶρος τῇ πάλαι κατακρίσει,*
*Εἰς γῆν ἀπῆλθε· γῆ γὰρ ἦν, καὶ τί ξένον;*

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Φωκᾶ καὶ Ἑρμύλου, διὰ ξίφους τελειωθέντων.

*Στίχοι· Ἔγω γε τμηθῶ πρῶτον, Ἕρμυλος λέγει.*
*Οὔ, φησὶ Φωκᾶς, ἀλλ' ὁ Φωκᾶς Ἕρμυλε.*

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Ζακχαίου διακόνου, καὶ Ἀλφειοῦ ἀναγνώστου, ἀθλησάντων ἐν Καισαρείᾳ.

*Στίχοι· Ζακχαῖος, Ἀλφειὸς πόθῳ Θεοῦ Λόγου*
*Εἵλοντο τὸν θάνατον εὐσεβοφρόνως.*

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας καὶ Θαυματουργοῦ Σοφίας· καὶ τὰ Ἐγκαίνια τοῦ σεβασμίου Οἴκου τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Χαλκοπρατείοις.
Καὶ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μιχαὴλ Συγκέλλου, τοῦ Ὁμολογητοῦ.

*Στίχοι· Οὐκ, εἰ τελευτᾷς Μιχαήλ, τοῦτο ξένον·*
*Ἀλλ' εἰ θανὼν ζῇς ὥς περ οὖν ζῇς ἀξίως.*

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

*Τῆς Θεοτόκου.*
*Ὠδὴ ζ'. Ὁ εἱρμός.*

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν Βα»βυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα »τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· Ὁ τῶν Πα»τέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας, Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.



Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

*Τοῦ μάρτυρος.*
*Ὠδὴ ζ'. Σὲ νοητήν, Θεοτόκε κάμινον.*

Ῥώμῃ τῇ σῇ, κραταιᾷ σθενούμενοι, οἱ Ἀθλοφόροι σου Χριστέ, ἐτροπώσαντο τὸν ἐχθρόν· πλάνην κατεπάτησαν· σώματα παρέδωκαν, τοῖς οἰκισμοῖς ἀναμέλποντες· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Οἱ θεαυγεῖς, Ἀθλοφόροι Μάρτυρες, ἀγωνισάμενοι καλῶς, Μαρκελλῖνος καὶ ὁ κλεινός, Μᾶρκος καὶ Τιβούρτιος, Κάστουλος ὁ πάνσοφος, πρὸς οὐρανὸν μετετέθησαν, τὸν αἰνετὸν ἀνυμνοῦντες, Θεὸν τὸν ὑπερένδοξον.

Νεανικῶς, ἀθλητὰ Τιβούρτιε, ὥσπερ οἱ Παῖδες τῇ πυρᾷ, ἐπιβέβηκας νοητῶς, δρόσον τὴν τοῦ Πνεύματος, ἄνωθεν δεχόμενος, καὶ μελῳδῶν ἐμμελέστατα· Ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὥσπερ ἀμνάς, κρεμαμένη ἔνδοξε, ἐναπηγχόνισας ἐχθρόν, ταῖς νευραῖς τῶν μαρτυρικῶν πόνων σου πανεύφημε, ζῇς δὲ μετὰ θάνατον, Μάρτυς Ζωὴ ἀναμέλπουσα· Ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Θεοτοκίον.*

Στάμνον χρυσῆν, παναγίαν Τράπεζαν, τοῦ θείου Ἄρτου τῆς ζωῆς, ὀνομάζομέν σε Ἁγνή, Τόπον ἁγιάσματος, Θρόνον ὑψηλότατον, ἐν ᾧ Θεὸς ἀνεπαύσατο, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

www.tezaurliturgic.ro

*Ἕτερος τοῦ μάρτυρος.*
*Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο.*

Πυρὶ θείας ἀγαπήσεως φλεγόμενος, Τιβούρτιε πανένδοξε, ἀνδρειότατα ἐπ' ἀνθράκων ἔστης τοῦ πυρὸς κραυγάζων τῶν Παίδων τὴν ᾠδήν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ῥητορεύων κατενώπιον, Τιβούρτιε, παρανομούντων ἄριστα ἀπετμήθης σου, τὴν ἁγίαν κάραν καὶ χοροῖς ἀγγέλων συνήφθης ἐκβοῶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ἐξ ἁγνῶν, Θεογεννήτρια, αἱμάτων σου, Χριστὸς ὁ ὑπερούσιος σαρκωθεὶς ἡμᾶς, διασῴζων πρόεισι· διὸ αὐτὸν καθικέτευε, ἁγνή, τὸν σὲ τιμῶντα σαρκικῶν παθῶν λυτρώσασθαι.

*Καταβασία.* ***Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες.***

*Τῆς Θεοτόκου*
*Ὠδὴ η΄. Ὁ εἱρμός.*

Τὸν Βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν »Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς »αἰῶνας.

Τοὺς βοηθείας, τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων, τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι, τὸν ἄφραστόν σου τόκον.



Τὰς ἀσθενείας μου, τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω, τὴν κεχαριτωμένην.

Τῶν πειρασμῶν, σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σὲ ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*Τοῦ μάρτυρος.*
*Ὠδὴ η΄. Ἐν καμίνῳ Παῖδες Ἰσραήλ.*

Νεκρωθῆναι κόσμῳ βουληθείς, καὶ τοῖς ἐν κόσμῳ πᾶσι, τῆς ὄντως κατηξιώθης, ἀεισέβαστε ζωῆς, βοῶν προθυμότατα· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἔθεντό σε ἄνομοι δεινῶς, ἐν λάκκῳ κατωτάτῳ, χωννύντες καὶ θανατοῦντες, ἀναμέλποντα τρανῶς, ἀοίδιμε Κάστουλε· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μακαρίας ἔτυχες ζωῆς, ὡς ἐπώνυμος ταύτης· πνιγμῷ γὰρ βιαιοτάτῳ, τὴν ἐπίκηρον ζωήν, κατέλιπες μέλπουσα· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ὡραιώθης τέξασα Θεόν, ὡραῖον καὶ Δεσπότην, τὸν θείαις καταφαιδρύναντα, ἀκτῖσι τοὺς βροτούς· διὸ ἀναμέλπομεν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Ἕτερος τοῦ μάρτυρος.*
*Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.*

Προσδεθέντες ἀνδρείως, ἄμφω εἰς στέλεχος, καὶ τοὺς πόδας τοῖς κέντροις περονιζόμενοι, ἔφερον στεῤῥῶς, γεγηθότες οἱ μάρτυρες, Μᾶρκος ὁ θεόφρων καὶ θεῖος Μαρκελλῖνος.

www.tezaurliturgic.ro

Θ ἰκονίζοντες πάθος, τὸ σὸν τὸ ἄχραντον, Μαρκελλῖνος καὶ Μᾶρκος, Δέσποτα Κύριε, λόγχαις τὰς πλευρὰς, ἐκκεντῶνται κραυγάζοντες· σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ο ῾Πατρὸς ἐξ ἀνάρχου, ἀῤῥεύστως πρότερον, γεννηθεὶς ἐπ᾽ ἐσχάτων ἐκ σοῦ, πανάμωμε, θέλων δι᾽ ἐμὲ ἐσαρκώθη· ὃν αἴτησαι πάντων σαρκικῶν με, παθῶν ἐλευθερῶσαι.

*Καταβασία.* ***Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.***

*Τῆς Θεοτόκου*
*Ὠδὴ θ΄. Ὁ εἱρμός.*

Κ υρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσω»σμένοι Παρθένε ἁγνή, σὺν Ἀσωμάτων χορείαις σὲ »μεγαλύνοντες.

Ρ ῾οήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε Χριστὸν κυήσασα.

Χ αρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λ ιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φ ωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.



*Τοῦ μάρτυρος.*
*Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.*

Ι ῞να θεϊκῆς λαμπρότητος, καὶ αἰωνίου δόξης καὶ ὡραιότητος, Σεβαστιανέ, ἀξιωθῇς ἀξιάγαστε, τὰς βασάνους τοὺς πόνους τὸν θάνατον, ὑπέμεινας ἀνδρείως· διό σε πάντες μακαρίζομεν.

Ω ῎φθης μέσον ἄστρων ἥλιος, τῶν συναθλούντων Μάρτυς· καὶ νῦν φωτίζετε, ἄθλων ἱερῶν, ἱερωτάταις λαμπρότησιν, Ἐκκλησίας τὸ θεῖον στερέωμα, καὶ πᾶσαν διαβόλου, διασκεδάζετε ἀπόνοιαν.

Σ τέργοντες Χριστὸν Τιβούρτιος, καὶ Μαρκελλῖνος Μᾶρκος Ζωὴ καὶ Κάστουλος, Σεβαστιανῷ, καθηγητῇ καὶ θεόφρονι, συναθλοῦσι καὶ ἴσους κομίζονται, τῆς νίκης τοὺς στεφάνους, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.

Η ῎ρθη πρὸς μονὰς σκηνούμενος, φωτοειδὴς Μαρτύρων χορὸς ὁ ἔνθεος, καὶ τοὺς οὐρανούς, περιπολεῖ ἀγαλλόμενος, ὑπὲρ πάντων ἡμῶν τὸν φιλάνθρωπον, ἀεὶ παρακαλοῦντες, μακαριζόντων αὐτοὺς πάντοτε.

*Θεοτοκίον.*

Φ ρίττει νοερὰ Στρατεύματα, τὸ τοῦ Πατρὸς ὁρῶντα θεῖον ἀπαύγασμα, σοῦ ἐν ταῖς χερσίν, ἀνερμηνεύτως κρατούμενον, καὶ τὸ σὸν κεκτημένον ὁμοίωμα, ἵνα βροτοὺς θεώσῃ, Παρθενομῆτορ ἀπειρόγαμε.

*Ἕτερος τοῦ μάρτυρος.*
*Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.*

Ε ῾στὼς ἐν μέσῳ πεδίου, ἔνδοξε, καρτερικῶς σημεῖον ὡς τοξότου τοῖς βέλεσιν, ἐνεπάρης ἀδίκως καὶ ἔπηξας ταῦτα ἐχθρῶν καρδίαις, καὶ βασιλεύοντος, Σεβαστιανέ, τῶν ἀθλητῶν τὸ ἐγκαλλώπισμα.

www.tezaurliturgic.ro

Βροτὸν δι' οἰκτόν σε χρηματίσαντα, Λόγε Θεοῦ, κηρύττων βασιλέων ἐνώπιον, ἀφειδῶς τῷ σῷ πόθῳ ῥαβδίζεται καὶ σοὶ τὸ θεῖον πνεῦμα χαίρων παρέδωκε Σεβαστιανὸς ὁ ἱερός, καὶ παναοίδιμος.

*Θεοτοκίον.*

Θεὸν ἀνθρώποις προσομιλήσαντα, διὰ σαρκός, Παρθένε Θεοτόκε, ἐκύησας, καὶ τοὺς σὲ Θεοτόκον κηρύττοντας, πάντοτε ὀρθοφρόνως, σκέπεις διδάσκουσα θείᾳ ἐν εἰκόνι σε ἀεὶ προσενοπτρίζεσθαι.

*Καταβασία.* ***Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον.***

***Ἐξαποστειλάριον.*** *Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Περιφανῶς ἀθλήσας, θεόφρον Σεβαστιανέ, ἀξίως ἐμεγαλύνθης, τοῦ Πνεύματος ταῖς δωρεαῖς, καὶ τοῖς ἐν κόσμῳ πηγάζεις, τὴν χάριν τῶν ἰαμάτων.

*Προεόρτιον, ὅμοιον.*

Ὁ τῶν ἁπάντων Κτίστης, σωματωθεὶς δίχα τροπῆς, ἐκ τῆς Ἁγνῆς Παρθένου, ἐπείγεται πρὸς Βηθλεέμ, τοῦ γεννηθῆναι ὡς βρέφος, εἰς ἀναγέννησιν κόσμου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.*
*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Τῆς εὐσεβείας τὸν πλοῦτον καὶ τὴν λαμπρότητα, ἐν σοὶ ἐταμιεύσω, πολιτείᾳ ἀμέμπτῳ, καὶ πόνοις μαρτυρίου ὑπερφυῶς, ἠγωνίσω ὡς ἄσαρκος· διὸ τελοῦντες τὴν μνήμην σου τὴν λαμπράν, Σεβαστιανὲ ὑμνοῦμέν σε.

Τῶν Ἀθλοφόρων ῥωννύων Μάρτυς τὸ φρόνημα, λόγοις ὁμοῦ καὶ ἔργοις, πρὸς τελείους ἀγῶνας, σὺν τούτοις ἠγωνίσω ἀθλητικῶς, καὶ Χριστὸν ἐμεγάλυνας, τῇ σῇ ἀτρέπτῳ ἐνστάσει καὶ θαυμαστῇ, Σεβαστιανὲ πανένδοξε.



Τὰς τῶν βελῶν ἐκκεντήσεις φέρων στεῤῥότατα, τὴν τῶν μελῶν σου θλᾶσιν, ἀνδρικῶς καθυπέστης, καὶ ἔθλασας λεόντων τῶν νοητῶν, τὰ ὀστᾶ καὶ τὴν δύναμιν, ὡς στρατιώτης Κυρίου περιφανής, Σεβαστιανὲ πανεύφημε.

Τοὺς τὴν ἁγίαν σου μνήμην πανηγυρίζοντας, καὶ ἀνυμνοῦντας Μάρτυς, τοὺς στεῤῥούς σου ἀγῶνας, φύλαττε καὶ σῷζε πάσης ὀργῆς, καὶ κινδύνων καὶ θλίψεων, μαρτυρικῇ σου πρεσβείᾳ πρὸς τὸν Χριστόν, Σεβαστιανὲ μακάριε.

*Δόξα. Ἦχος πλ. α'.*

Τοῦ μαρτυρίου τὸν ἀγῶνα, ἐν πολλῇ φρονήσει, καὶ ἀνδρείᾳ ψυχῆς, Σεβαστιανὲ διήνυσας· ὑπεριδὼν γὰρ σαρκός, ἐν τῷ πυρὶ τῆς θείας ἀγάπης, πάντα σκύβαλα ἡγήσω, ἵνα Χριστὸν κερδίσῃς· καὶ βασάνων σκληρῶν, κατατολμήσας ἀνδρείως, τῆς πλάνης τὸν σύνδεσμον διέλυσας, καὶ ταῖς μαρτυρικαῖς συνήφθης χορείαις· μεθ' ὧν ἱκέτευε δεόμεθα, Μεγαλομάρτυς ἔνδοξε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε· καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος· τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ.

www.tezaurliturgic.ro

*ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.*

Τυπικὰ καὶ Μακαρισμοί.
Ἐν αὐτοῖς ἱστῶμεν στίχους η' καὶ ψάλλομεν δ' ἐκ τῆς γ' ᾠδῆς τοῦ α' κανόνος τοῦ ἁγίου καὶ δ' ἐκ τῆς στ' ᾠδῆς τοῦ β' κανόνος.
Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου.
Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

*Μεγαλυνάριον.*

Χαίροις ὁ ἐν Μάρτυσιν εὐκλεής, ὧν ἀλείπτης ὤφθης, πρὸς ἀγῶνας ἀθλητικούς, μεθ' ὧν ἐκδυσώπει, δοθῆναι ἡμῖν πᾶσι, συγχώρησιν πταισμάτων, Σεβαστιανὲ σοφέ.



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Σεβαστιανόν.
Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει
ὑπὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος καὶ τὸ ἑξῆς·

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς ἐναθλήσας ἀνενδότῳ καρδίᾳ, καὶ καθελὼν τὸν πολυμήχανον ὄφιν, τῆς ἐπηρείας τούτου ἀπολύτρωσαι, πάντας τοὺς προστρέχοντας, τῇ ἁγίᾳ σου σκέπῃ, καὶ τὴν σὴν ἀντίληψιν, εὐλαβῶς ἐκζητοῦντας, Μεγαλομάρτυς Σεβαστιανέ, ῥῶσιν παρέχων, ψυχῆς τε καὶ σώματος.

*Δόξα καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ὁ Ν'. ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.*
«Σεβαστιανὲ ῥύσαι δεινῶν με. Γερασίμου».

www.tezaurliturgic.ro

# ΔΟΞΑΣΤΙΚΟΝ ΤΩΝ ΣΤΙΧΗΡΩΝ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

**Ηχος Πα**








# ΔΟΞΑCΤΙΚΟΝ ΤΗC ΛΙΤΗC

**Ηχος** Πα



www.tezaurliturgic.ro




## ΔΟΞΑCΤΙΚΟΝ ΤΩΝ ΑΠΟCΤΙΧΩΝ

**Ηχος Νη**






www.tezaurliturgic.ro

# ΔΟΞΑΣΤΙΚΟΝ ΤΩΝ ΑΙΝΩΝ

Ηχος Πα






